UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

Parisiis, 1644

Basilii sanctissimi Caesareae primae Cappadociae episcopi.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431.

ἐνεργείας, μᾶλλον δὲ πλήρης τῆς ἐναντίας.

tute fruſtratus ſit, vel potius contraria repleatur.

Εἴ τις οὐ προσκυνεῖ τὸν ἐσταυρωμένον, ἀνάθεμα ἔστω, καὶ τετάχθω μετὰ τῶν θεοκτόνων.

Si quis crucifixum non adorat, ſit anathema, & inter Dei interfectores cenſeatur.

Εἴ τις ἐξ ἔργων τετελειωμένον, ἢ μετὰ τὸ βάπτισμα, ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν υἱοθεσίας ἠξιῶσθαι λέγει, καθάπερ οὓς Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω· τὸ γὰρ ἠργμένον, ἢ προκόπτον, ἢ τελειούμενον, οὐ θεός, κἂν διὰ τὴν κατὰ μικρὸν αὔξησιν οὕτω λέγηται.

Si quis eum ex operibus perfectum, aut poſt baptiſmum, aut reſurrectionem ex mortuis, in Filium adoptatum dixerit, quemadmodum ethnici adſcriptitios inducunt, anathema ſit: ſiquidem quod initium habet, quod proficit, quod conſummatur, hoc non eſt Deus, etiamſi ob ſucceſſiuum incrementum tale quidpiam de eo dicatur.

Βασιλείου τοῦ ἁγιωτάτου γενομένου ἐπισκόπου Καισαρείας τῆς πρώτης Καππαδοκίας.

Baſilii ſanctiſſimi Cæſareæ primæ Cappadociæ epiſcopi.

*μεγέθη

ΟΥ γὰρ τοσοῦτον οὐρανὸς καὶ γῆ, καὶ τὰ * μυρία τῶν πελάγων, καὶ τὰ ἐν ὕδασι διαιτώμενα, καὶ τὰ χερσαῖα τῶν ζώων, καὶ φυτά, καὶ ἀστέρες, καὶ ἀήρ, καὶ ὧραι, καὶ ἡ ποικίλη τοῦ παντὸς διακόσμησις τὸ ὑπερέχον τῆς ἰσχύος συνίστησιν, ὅσον τὸ δυνηθῆναι τὸν θεὸν τὸν ἀχώρητον ἀπαθῶς διὰ σαρκὸς συμπλακῆναι τῷ θανάτῳ, ἵνα ἡμῖν τῷ ἰδίῳ πάθει τὴν ἀπάθειαν χαρίσηται.

NON cælum, non terra, non marium ſpatia, non quæ in terris & in aquis degunt animantes, non plantæ, non ſtellæ, non aer, non anni tempora, non varius denique totius vniuerſitatis ornatus tantum potentiæ excellentiam oſtendit, quantum potuiſſe immenſum illum infinitumque Deum impaſſibiliter per carnem aſſumptã confligere cum morte, quo nimirum per propriam paſſionem ſuam nobis impaſſibilitatem impertiretur. *lib. de Spiritu S.*

Γρηγορίου τοῦ ἁγιωτάτου ἐπισκόπου Νύσσης.

Gregorii ſanctiſſimi epiſcopi Nyſſeni.

ΤΟΥΤΟ γὰρ φρονείσθω, φησίν, ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. τί πτωχότερον ἐπὶ θεοῦ τῆς τοῦ δούλου μορφῆς; τί ταπεινότερον

HOC *enim ſentite, inquit, in vobis, quod & in Chriſto Ieſu: qui cum in forma Dei eſſet, non rapinam arbitratus eſt, eſſe ſe æqualem Deo; ſed ſemetipſum exinaniuit, formam ſerui accipiens.* Quid ſerui forma de Deo dici poteſt abiectius? Quid de omnium *Phil. 2. v. 5.*